# 13. Deucalione e Pirra

Προμηθέως παῖς Δευκαλίων ἐγίγνετο[(a)]. Ὁ δὲ βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων γαμεῖ Πύρραν, τὴν θυγατέρα Ἐπιμηθέως καὶ Πανδώρας, τῆς πρώτης γυναικὸς ὑπὸ θεῶν πλαττομένης. Ἐπεὶ δὲ διαφθείρειν Ζεὺς τὸ χαλκοῦν ἔθελε γένος[(b)], ὑποτιθεμένου Προμηθέως[(c)] ὁ Δευκαλίων ἐτέκταινε λάρνακα καὶ τὰ ἐπιτήδεια ἐντιθέμενος μετὰ Πύρρας εἰσέβαινε. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέων πολλὰ μέρη[(d)] τῆς Ἑλλάδος κατέκλυζε, διαφθείρων πάντας ἀνθρώπους· ὀλίγοι μόνον ἐτύγχανον περιγιγνόμενοι[(e)] καὶ συνέφευγον εἰς τὰ πλησίον ὑψηλὰ ὄρη. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης[(f)] φερόμενος ἐφ' ἡμέρας ἐννέα καὶ νύκτας τὰς ἴσας τῷ Παρνασῷ προσίσχει, κἀκεῖ, τῶν ὄμβρων παῦλαν λαμβανόντων, ἐκβαίνει ἵνα θύῃ[(g)] Διὶ Φυξίῳ. Ζεὺς δὲ πέμπων Ἑρμῆν πρὸς τὸν Δευκαλίωνα ἐπιτρέπει αἱρεῖσθαι ὅ τι βούλεται[1]· ὁ δὲ αἱρεῖται ἀνθρώπους εἶναι. Καὶ Διὸς κελεύοντος ὑπὲρ κεφαλῆς αἴρων ἔβαλλε λίθους· οἱ μὲν λίθοι ὑπὸ τοῦ Δευκαλίωνος βαλλόμενοι ἄνδρες ἐγίγνοντο, οἱ δὲ ὑπὸ Πύρρας γυναῖκες.

(da Apollodoro)

---

[1] ὅ τι βούλεται: «qualsiasi cosa voglia».

## *Guida all'analisi del brano*

**(a)** Analizza la forma verbale.
**(b)** Declina per intero.
**(c)** Di che costrutto si tratta?
**(d)** Declina per intero.
**(e)** Di quale uso del participio si tratta?
**(f)** Che complemento è?
**(g)** Che proposizione è?